(912) κάτεισι· τὰ δὲ πηγαῖα καὶ τῇ γῇ καὶ τοῖς τόποις ὁμοιούμενα, δι᾽ ὧν ἔξεισι, πολλῶν ἀναπίμπλαται ποιοτήτων, δι᾽ ἃς ἧττόν ἐστιν εὔτρεπτα καὶ βράδιον αὐτὰ παρέχει τῇ πέψει μεταβάλλειν εἰς τὸ τρεφόμενον. τῶν δ᾽ ὀμβρίων
C τὸ εὔτρεπτον αἱ σήψεις κατηγοροῦσιν· εὐσηπτότερα γάρ ἐστι τῶν ποταμίων καὶ φρεατιαίων, ἡ δὲ πέψις ἔοικεν εἶναι σῆψις, ὡς Ἐμπεδοκλῆς (fr. 81) μαρτυρεῖ λέγων

'οἶνος ἀπὸ φλοιοῦ πέλεται σαπὲν ἐν ξύλῳ ὕδωρ'.

ἢ πάντων ἑτοιμότατόν ἐστι καὶ ῥᾷστον αἰτιάσασθαι τὸ γλυκὺ τῶν ὀμβρίων καὶ χρηστόν, ἐκπεμπόμενον εὐθὺς ὑπὸ τοῦ πνεύματος; διὸ καὶ τὰ θρέμματα τούτων ἀπολαύει προθυμότερον, καὶ οἱ βάτραχοι προσδοκῶντες ὄμβρον ἐπιλαμπρύνουσι τὴν φωνὴν ὑπὸ χαρᾶς, ὥσπερ ἥδυσμα τοῦ λιμναίου τὸ ὕετιον προσδεχόμενοι καὶ σπέρμα τῆς ἐκείνων γλυκύτητος· ἓν γὰρ καὶ τοῦτο ποιεῖται
D σημεῖον ὑετοῦ μέλλοντος Ἄρατος εἰπών (Phaen. 946 sq.)

'ἢ μάλα δείλαιαι γενεαί, ὕδροισιν ὄνειαρ,
αὐτόθεν ἐκ λίμνης πατέρες βοόωσι. γυρίνων.'